ΑΝΑΓΟΡΕΥΣΙΣ
ΕΙΣ ΕΠΙΤΙΜΟΝ ΔΙΔΑΚΤΟΡΑ
ΤΗΣ ΦΙΛΟΣΟΦΙΚΗΣ ΣΧΟΛΗΣ
ΤΟΥ κ. ΒΑΣΙΛΕΙΟΥ ΚΑΡΑΓΕΩΡΓΗ

[Ἀποφάσει τῆς Φιλοσοφικῆς Σχολῆς τοῦ Πανεπιστημίου Ἀθηνῶν, εἰς τὸν διευθυντὴν τῆς Ἀρχαιολογικῆς Ὑπηρεσίας τῆς Κύπρου κ. Βασίλειον Καραγεώργην, ἀπενεμήθη ὁ τίτλος τοῦ ἐπιτίμου διδάκτορος. Ἡ σχετικὴ τελετὴ ἐγένετο τὴν 26ην Ἀπριλίου 1973, ἐν τῇ μεγάλῃ αἰθούσῃ τῶν τελετῶν τοῦ Πανεπιστημίου. Κατὰ τὸν πανεπιστημιακὸν ὀργανισμὸν ὡμίλησε περὶ τῆς ζωῆς καὶ τοῦ ἔργου τοῦ τιμωμένου ὁ τακτικὸς καθηγητὴς τῆς Ἀρχαιολογίας κ. Νικόλαος Κοντολέων, ὁ δὲ Κοσμήτωρ τῆς Σχολῆς κ. Φαίδων Κ. Μπουμπουλίδης προέβη εἰς ἀνακήρυξιν τοῦ νέου ἐπιτίμου διδάκτορος. Ἐν συνεχείᾳ ὁ κ. Βασίλειος Καραγεώργης ἐξεφώνησε λόγον μὲ θέμα: «Ἡ Κύπρος εἰς τὸν Ἀρχαῖον Ἑλληνικὸν Κόσμον». Τὸ ψήφισμα τῆς ἀναγορεύσεως, καθὼς καὶ τὰ κείμενα τῶν δύο λόγων δημοσιεύονται κατωτέρω].

ΨΗΦΙΣΜΑ
ΤΗΣ ΤΩΝ ΦΙΛΟΣΟΦΩΝ ΣΧΟΛΗΣ

ΤΥΧΗ ΑΓΑΘΗ

Πρυτανεύοντος ἐν τῷ Ἀθήνησιν Ἐθνικῷ καὶ Καποδιστριακῷ Πανεπιστημίῳ Κωνσταντίνου Τούντα, κοσμητεύοντος τῆς τῶν Φιλοσόφων Σχολῆς Φαίδωνος Κ. Μπουμπουλίδου, εἰσηγησαμένων δὲ τῶν καθηγητῶν Γεωργίου Κουρμούλη, Νικολάου Κοντολέοντος καὶ Αἰκατερίνης Χριστοφιλοπούλου ἔδοξε τῇ Σχολῇ ὁμοφώνως:

Ἐπειδὴ

ΒΑΣΙΛΕΙΟΣ ΚΑΡΑΓΕΩΡΓΗΣ

ἀνὴρ παιδείᾳ τε καὶ εὐφυίᾳ διακρινόμενος, τῆς ἐπιστήμης θεράπων ἐν τοῖς ἄριστος ἀποδέδεικται, κατ' ἐξοχὴν δὲ τὴν τῆς Κύπρου, νήσου τὰ μάλιστα Ἑλληνίδος, ἀρχαιολογίαν οὐ

παύεται συγγραφαῖς πλήθει τε καὶ σοφίᾳ διαπρεπούσαις πραγματευόμενος, καθεσταμένος τε ἐπὶ τὴν τῶν τῆς νήσου μνημείων ἐπιμέλειαν, ἀόκνως τε καὶ καταξίως τὴν πᾶσαν περὶ αὐτῶν σπουδὴν ποιούμενος, τὴν Κυπριακὴν ἀρχαιολογίαν εἰς θαυμαστὴν ἀναγήγοχε περιωπήν, ἀφ' ἧς αὕτη ἀψευδὴς μαρτυρία τῇ κοινῇ τῶν Ἑλλήνων ὑποθέσει διαλάμπει, ἐπαινέσαι αὐτὸν καὶ τῆς Φιλοσοφίας διδάκτορα ἐπίτιμον ἀνακηρῦξαι, τὸ δὲ ψήφισμα τόδε εἰς μεμβράνην ἀναγράψαι καὶ τὸν τῆς Σχολῆς Κοσμήτορα δημοσίᾳ ἐν τῇ Αἰθούσῃ τῇ Μεγάλῃ ἀναγνόντα ἐπιδοῦναι αὐτῷ, ᾗ ἂν ἡμέρᾳ ἡ ἀνακήρυξις γένηται. Ἀθήνησι μηνὸς Ἀπριλίου ἕκτῃ ἔτει τρίτῳ καὶ ἑβδομηκοστῷ καὶ ἐνακοσιοστῷ καὶ χιλιοστῷ.

Ὁ τῆς τῶν φιλοσόφων Σχολῆς Κοσμήτωρ

ΦΑΙΔΩΝ Κ. ΜΠΟΥΜΠΟΥΛΙΔΗΣ